eul_wid: iso-am

*Καλλίμαχος ὁ Κυρηναῖος* · Callimachus of Cyrene the Poet and Scholar

# Epigrams

*Ὕμνοι*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ λογοτεχνική* Literary Koine
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Ἔμμετρος* Verse

book 6.1.1 Ὤμοσε Καλλίγνωτος Ἰωνίδι μήποτ’ ἐκείνης
book 6.1.2 ἕξειν μήτε φίλον κρέσσονα μήτε φίλην.
book 6.1.3 ὤμοσεν· ἀλλὰ λέγουσιν ἀληθέα, τοὺς ἐν ἔρωτι
book 6.1.4 ὅρκους μὴ δύνειν οὔατ’ ἐς ἀθανάτων.
book 6.5 νῦν δ’ ὁ μὲν ἀρσενικῷ θέρεται πυρί, τῆς δὲ ταλαίνης
book 6 νύμφης ὡς Μεγαρέων οὐ λόγος οὐδ’ ἀριθμός.
book 23.1.1 Οὕτως ὑπνώσαις, Κωνώπιον, ὡς ἐμὲ ποιεῖς
book 23.1.2 κοιμᾶσθαι ψυχροῖς τοῖσδε παρὰ προθύροις·
book 23.1.3 οὕτως ὑπνώσαις, ἀδικωτάτη, ὡς τὸν ἐραστὴν
book 23.1.4 κοιμίζεις, ἐλέου δ’ οὐδ’ ὄναρ ἠντίασας.
book 23.5.1 γείτονες οἰκτείρουσι, σὺ δ’ οὐδ’ ὄναρ· ἡ πολιὴ δὲ
book 23.5.2 αὐτίκ’ ἀναμνήσει ταῦτά σε πάντα κόμη.
book 146.1.1 Τέσσαρες αἱ Χάριτες· ποτὶ γὰρ μία ταῖς τρισὶ κείναις
book 146.1.2 ἄρτι ποτεπλάσθη κῆτι μύροισι νοτεῖ.
book 146.1.3 εὐαίων ἐν πᾶσιν ἀρίζαλος Βερενίκα,
book 146.1.4 ἇς ἄτερ οὐδ’ αὐταὶ ταὶ Χάριτες Χάριτες.
book 121.1.1 Κυνθιάδες, θαρσεῖτε· τὰ γὰρ τοῦ Κρητὸς Ἐχέμμα
book 121.1.2 κεῖται ἐν Ὀρτυγίῃ τόξα παρ’ Ἀρτέμιδι,
book 121.1.3 οἷς ὑμέων ἐκένωσεν ὄρος μέγα, νῦν δὲ πέπαυται,
book 121.1.4 αἶγες, ἐπεὶ σπονδὰς ἡ θεὸς εἰργάσατο.
book 146.1.1 Καὶ πάλιν, Εἰλήθυια, Λυκαινίδος ἐλθὲ καλεύσης
book 146.1.2 εὔλοχος ὠδίνων ὧδε σὺν εὐτοκίῃ·
book 146.1.3 ὡς τόδε νῦν μέν, ἄνασσα, κόρης ὕπερ· ἀντὶ δὲ παιδὸς
book 146.1.4 ὕστερον εὐώδης ἄλλο τι νηὸς ἔχοι.
book 147.1.1 Τὸ χρέος ὡς ἀπέχεις, Ἀσκληπιέ, τὸ πρὸ γυναικὸς

book 147.1.2 Δημοδίκης Ἀκέσων ὤφελεν εὐξάμενος,
book 147.1.3 γινώσκειν· ἢν δ’ ἆρα λάθῃ καὶ 〈δίσ〉 μιν ἀπαιτῇς,
book 147 φησὶ παρέξεσθαι μαρτυρίην ὁ πίναξ.
book 148.1.1 Τῷ με Κανωπίτᾳ Καλλίστιον εἴκοσι μύξαις
book 148.1.2 πλούσιον, ἁ Κριτίου, λύχνον ἔθηκε θεῷ,
book 148.1.3 εὐξαμένα περὶ παιδὸς Ἀπελλίδος. ἐς δ’ ἐμὰ φέγγη
book 148.1.4 ἀθρήσας φάσεις· „Ἕσπερε, πῶς ἔπεσες;“
book 149.1.1 Φησὶν ὅ με στήσας Εὐαίνετος (οὐ γὰρ ἔγωγε
book 149.1.2 γινώσκω) νίκης ἀντί με τῆς ἰδίης
book 149.1.3 ἀγκεῖσθαι χάλκειον ἀλέκτορα Τυνδαρίδῃσι·
book 149.1.4 πιστεύω Φαίδρου παιδὶ Φιλοξενίδεω.
book 150.1.1 Ἰναχίης ἕστηκεν ἐν Ἴσιδος ἡ Θάλεω παῖς
book 150.1.2 Αἰσχυλὶς Εἰρήνης μητρὸς ὑποσχεσίῃ.
book 301.1.1 Τὴν ἁλίην Εὔδημος, ἐφ’ ἧς ἅλα λιτὸν ἐπέσθων
book 301.1.2 χειμῶνας μεγάλους ἐξέφυγεν δανέων,
book 301.1.3 θῆκε θεοῖς Σαμόθρῃξι λέγων, ὅτι τήνδε κατ’ εὐχήν,
book 301.1.4 ὦ ἅλιοι, σωθεὶς ἐξ ἁλὸς ὧδε θέτο.
book 310.1.1 Εὐμαθίην ᾐτεῖτο διδοὺς ἐμὲ Σῖμος ὁ Μίκκου
book 310.1.2 ταῖς Μούσαις· αἱ δέ, Γλαῦκος ὅκως, ἔδοσαν
book 310.1.3 ἀντ’ ὀλίγου μέγα δῶρον. ἐγὼ δ’ ἀνὰ τῇδε κεχηνὼς
book 310.1.4 κεῖμαι τοῦ Σαμίου διπλόον, ὁ τραγικὸς
book 310.5.1 παιδαρίων Διόνυσος ἐπήκοος· οἱ δὲ λέγουσιν·
book 310.5.2 „Ἱερὸς ὁ πλόκαμοσ“, τοὐμὸν ὄνειαρ ἐμοί.
book 311.1.1 Τῆς Ἀγοράνακτός με λέγε, ξένε, κωμικὸν ὄντως
book 311.1.2 ἀγκεῖσθαι νίκης μάρτυρα τοῦ Ῥοδίου
book 311.1.3 Πάμφιλον, οὐ μὲν ἔρωτι δεδαγμένον, ἥμισυ δ’ ὀπτῇ
book 311.1.4 ἰσχάδι καὶ λύχνοις Ἴσιδος εἰδόμενον.
book 347.1.1 Ἄρτεμι, τὶν τόδ’ ἄγαλμα Φιληρατὶς εἵσατο τῇδε·
book 347.1.2 ἀλλὰ σὺ μὲν δέξαι, πότνια, τὴν δὲ σάω.
book 351.1.1 Τίν με, λεοντάγχ’ ὦνα συοκτόνε, φήγινον ὄζον
book 351.1.2 θῆκε—„Τίς;“ —Ἀρχῖνος. —„Ποῖος;“ —Ὁ Κρής. —„Δέχομαι.“
book 80.1.1 Εἶπέ τις, Ἡράκλειτε, τεὸν μόρον, ἐς δέ με δάκρυ
book 80.1.2 ἤγαγεν· ἐμνήσθην δ’, ὁσσάκις ἀμφότεροι
book 80.1.3 ἥλιον ἐν λέσχῃ κατεδύσαμεν. ἀλλὰ σὺ μέν που,
book 80.1.4 ξεῖν’ Ἁλικαρνησεῦ, τετράπαλαι σποδιή·
book 80.5.1 αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες, ᾗσιν ὁ πάντων
book 80.5.2 ἁρπακτὴς Ἀίδης οὐκ ἐπὶ χεῖρα βαλεῖ.
book 89.1.1 Ξεῖνος Ἀταρνείτης τις ἀνείρετο Πιττακὸν οὕτω
book 89.1.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸν Μιτυληναῖον, παῖδα τὸν Ὑρράδιον·
book 89.1.3 „Ἄττα γέρον, δοιός με καλεῖ γάμος· ἡ μία μὲν δὴ
book 89.1.4 νύμφη καὶ πλούτῳ καὶ γενεῇ κατ' ἐμέ,
book 89.5.1 ἡ δ' ἑτέρη προβέβηκε. τί λώιον; εἰ δ' ἄγε, σὺμ μοὶ
book 89.5.2 βούλευσον, ποτέρην εἰς ὑμέναιον ἄγω.“
book 89.5.3 εἶπεν· ὁ δὲ σκίπωνα, γεροντικὸν ὅπλον, ἀείρας·
book 89.5.4 „Ἠνίδε, κεῖνοί σοι πᾶν ἐρέουσιν ἔπος
book 89.5.5 (οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες
book 89.10.1 ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ),
book 89.10.2 κείνων ἔρχεο“, φησί, „μετ' ἴχνια.“ χὠ μὲν ἐπέστη
book 89.10.3 πλησίον· οἱ δ' ἔλεγον· „Τὴν κατὰ σαυτὸν ἔλα.“
book 89.10.4 ταῦτ' ἀίων ὁ ξεῖνος ἐφείσατο μείζονος οἴκου
book 89.10.5 δράξασθαι, παίδων κληδόνα συνθέμενος.
book 89.15.1 τὴν δ' ὀλίγην ὡς κεῖνος ἐς οἶκον ἐπήγετο νύμφην,
book 89.15.2 οὕτω καὶ σύ γ' ἰὼν τὴν κατὰ σαυτὸν ἔλα.
book 170.1.1 Τὸν τριετῆ παίζοντα περὶ φρέαρ Ἀρχιάνακτα
book 170.1.2 εἴδωλον μορφᾶς κωφὸν ἐπεσπάσατο·
book 170.1.3 ἐκ δ' ὕδατος τὸν παῖδα διάβροχον ἅρπασε μάτηρ
book 170.1.4 σκεπτομένα, ζωᾶς εἴ τινα μοῖραν ἔχει.
book 170.5 Νύμφας δ' οὐκ ἐμίηνεν ὁ νήπιος, ἀλλ' ἐπὶ γούνοις
book 170 ματρὸς κοιμαθεὶς τὸν βαθὺν ὕπνον ἔχει.
book 271.1.1 Ὤφελε μηδ' ἐγένοντο θοαὶ νέες· οὐ γὰρ ἂν ἡμεῖς
book 271.1.2 παῖδα Διοκλείδου Σώπολιν ἐστένομεν·
book 271.1.3 νῦν δ' ὁ μὲν εἰν ἁλί που φέρεται νέκυς, ἀντὶ δ' ἐκείνου
book 271.1.4 οὔνομα καὶ κενεὸν σῆμα παρερχόμεθα.
book 272.1.1 Νάξιος οὐκ ἐπὶ γῆς ἔθανεν Λύκος, ἀλλ' ἐνὶ πόντῳ
book 272.1.2 ναῦν ἅμα καὶ ψυχὴν εἶδεν ἀπολλυμένην,
book 272.1.3 ἔμπορος Αἰγίνηθεν ὅτ' ἔπλεε. χὠ μὲν ἐν ὑγρῇ
book 272.1.4 νεκρός, ἐγὼ δ' ἄλλως οὔνομα τύμβος ἔχων
book 272.5.1 κηρύσσω πανάληθες ἔπος τόδε· „Φεῦγε θαλάσσῃ
book 272.5.2 συμμίσγειν Ἐρίφων, ναυτίλε, δυομένων.“
book 277.1.1 Τίς, ξένος ὦ ναυηγέ; Λεόντιχος ἐνθάδε νεκρὸν
book 277.1.2 εὗρεν ἐπ' αἰγιαλοῦ, χῶσε δὲ τῷδε τάφῳ
book 277.1.3 δακρύσας ἐπίκηρον ἑὸν βίον· οὐδὲ γὰρ αὐτὸς
book 277 ἥσυχος, αἰθυίῃ δ' ἶσα θαλασσοπορεῖ.
book 317.1.1 Τίμων (οὐ γὰρ ἔτ' ἐσσί), τί τοι, σκότος ἢ φάος, ἐχθρόν; —
book 317.1.2 „Τὸ σκότος· ὑμέων γὰρ πλείονες εἰν Ἀίδῃ.“
book 318.1.1 Μὴ χαίρειν εἴπῃς με, κακὸν κέαρ, ἀλλὰ πάρελθε·
book 318.1.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἶσον ἐμοὶ χαίρειν ἐστὶ τὸ μὴ σὲ πελᾶν.
book 344b.1.1 Ἀλλ’ εἰ μὴ θυμόν γε Λέων ἐμὸν οὔνομά τ’ εἶχεν,
book 344b.1.2 οὐκ ἂν ἐγὼ τύμβῳ τῷδ’ ἐπέθηκα πόδας.
book 415.1.1 Βαττιάδεω παρὰ σῆμα φέρεις πόδας εὖ μὲν ἀοιδὴν
book 415.1.2 εἰδότος, εὖ δ’ οἴνῳ καίρια συγγελάσαι.
book 447.1.1 Σύντομος ἦν ὁ ξεῖνος· ὃ καὶ στίχος οὐ μακρὰ λέξων
book 447.1.2 „Θῆρις Ἀρισταίου Κρὴσ“ ἐπ’ ἐμοὶ δολιχός.
book 451.1.1 Τῇδε Σάων ὁ Δίκωνος Ἀκάνθιος ἱερὸν ὕπνον
book 451.1.2 κοιμᾶται. θνῄσκειν μὴ λέγε τοὺς ἀγαθούς.
book 453.1.1 Δωδεκέτη τὸν παῖδα πατὴρ ἀπέθηκε Φίλιππος
book 453.1.2 ἐνθάδε, τὴν πολλὴν ἐλπίδα, Νικοτέλην.
book 454.1.1 Τὸν βαθὺν οἰνοπότην Ἐρασίξενον ἡ δὶς ἐφεξῆς
book 454.1.2 ἀκρήτου προποθεῖσ’ ᾤχετ’ ἔχουσα κύλιξ.
book 458.1.1 Τὴν Φρυγίην Αἴσχρην, ἀγαθὸν γάλα, πᾶσιν ἐν ἐσθλοῖς
book 458.1.2 Μίκκος καὶ ζωὴν οὖσαν ἐγηροκόμει
book 458.1.3 καὶ φθιμένην ἀνέθηκεν, ἐπεσσομένοισιν ὁρᾶσθαι
book 458.1.4 ἡ γρηῢς μαστῶν ὡς ἀπέχει χάριτας.
book 459.1.1 Κρηθίδα τὴν πολύμυθον, ἐπισταμένην καλὰ παίζειν,
book 459.1.2 δίζηνται Σαμίων πολλάκι θυγατέρες,
book 459.1.3 ἡδίστην συνέριθον ἀείλαλον· ἡ δ’ ἀποβρίζει
book 459 ἐνθάδε τὸν πάσαις ὕπνον ὀφειλόμενον.
book 460.1.1 Εἶχον ἀπὸ σμικρῶν ὀλίγον βίον, οὔτε τι δεινὸν
book 460.1.2 ῥέζων οὔτ’ ἀδικῶν οὐδένα. Γαῖα φίλη,
book 460.1.3 Μικύλος εἴ τι πονηρὸν ἐπῄνεσα, μήτε σὺ κούφη
book 460.1.4 γίνεο μήτ’ ἄλλοι δαίμονες, οἵ μ’ ἔχετε.
book 471.1.1 Εἴπας „Ἥλιε, χαῖρε“ Κλεόμβροτος Ὡμβρακιώτης
book 471.1.2 ἥλατ’ ἀφ’ ὑψηλοῦ τείχεος εἰς Ἀίδην,
book 471.1.3 ἄξιον οὐδὲν ἰδὼν θανάτου κακόν, ἀλλὰ Πλάτωνος
book 471 ἓν τὸ περὶ ψυχῆς γράμμ’ ἀναλεξάμενος.
book 517.1.1 Ἠῷοι Μελάνιππον ἐθάπτομεν, ἠελίου δὲ
book 517.1.2 δυομένου Βασιλὼ κάτθανε παρθενικὴ
book 517.1.3 αὐτοχερί· ζώειν γὰρ ἀδελφεὸν ἐν πυρὶ θεῖσα
book 517.1.4 οὐκ ἔτλη. δίδυμον δ’ οἶκος ἐσεῖδε κακὸν
book 517.5 πατρὸς Ἀριστίπποιο· κατήφησεν δὲ Κυρήνη
book 517 πᾶσα τὸν εὔτεκνον χῆρον ἰδοῦσα δόμον.
book 518.1.1 Ἀστακίδην τὸν Κρῆτα, τὸν αἰπόλον, ἥρπασε Νύμφη
book 518.1.2 ἐξ ὄρεος, καὶ νῦν ἱερὸς Ἀστακίδης.
book 518.1.3 οὐκέτι Δικταίῃσιν ὑπὸ δρυσίν, οὐκέτι Δάφνιν
book 518.1.4

ποιμένες, Ἀστακίδην δ’ αἰὲν ἀεισόμεθα.
book 519.1.1 Δαίμονα τίς δ’ εὖ οἶδε τὸν Αὔριον, ἁνίκα καὶ σέ,
book 519.1.2 Χάρμι, τὸν ὀφθαλμοῖς χθιζὸν ἐν ἁμετέροις,
book 519.1.3 τᾷ ἑτέρᾳ κλαύσαντες ἐθάπτομεν; οὐδὲν ἐκείνου
book 519.1.4 εἶδε πατὴρ Διοφῶν χρῆμ’ ἀνιαρότερον.
book 520.1.1 Ἢν δίζῃ Τίμαρχον ἐν Ἄϊδος, ὄφρα πύθηαι
book 520.1.2 ἤ τι περὶ ψυχῆς ἢ πάλι, πῶς ἔσεαι,
book 520.1.3 δίζεσθαι φυλῆς Πτολεμαΐδος υἱέα πατρὸς
book 520.1.4 Παυσανίου· δήεις δ’ αὐτὸν ἐν εὐσεβέων.
book 521.1.1 Κύζικον ἢν ἔλθῃς, ὀλίγος πόνος Ἱππακὸν εὑρεῖν
book 521.1.2 καὶ Διδύμην· ἀφανὴς οὔτι γὰρ ἡ γενεή·
book 521.1.3 καί σφιν ἀνιηρὸν μὲν ἐρεῖς ἔπος, ἔμπα δὲ λέξαι
book 521 τοῦθ’, ὅτι τὸν κείνων ὧδ’ ἐπέχω Κριτίην.
book 522.1.1 „Τιμονόη.“ τίς δ’ ἐσσί; μὰ δαίμονας, οὔ ς’ ἂν ἐπέγνων,
book 522.1.2 εἰ μὴ Τιμοθέου πατρὸς ἐπῆν ὄνομα
book 522.1.3 στήλῃ καὶ Μήθυμνα τεὴ πόλις. ἦ μέγα φημὶ
book 522.1.4 χῆρον ἀνιᾶσθαι σὸν πόσιν Εὐθυμένη.
book 523.1.1 Οἵτινες Ἀλείοιο παρέρπετε σῆμα Κίμωνος,
book 523.1.2 ἴστε τὸν Ἱππαίου παῖδα παρερχόμενοι.
book 524.1.1 Ἦ ῥ’ ὑπὸ σοὶ Χαρίδας ἀναπαύεται; —„Εἰ τὸν Ἀρίμμα
book 524.1.2 τοῦ Κυρηναίου παῖδα λέγεις, ὑπ’ ἐμοί.“ —
book 524.1.3 Ὦ Χαρίδα, τί τὰ νέρθε; —„Πολὺς σκότος.“ —Αἱ δ’ ἄνοδοι τί; —
book 524.1.4 „Ψεῦδος.“ —Ὁ δὲ Πλούτων; —„Μῦθος.“ —Ἀπωλόμεθα. —
book 524.5.1 „Οὗτος ἐμὸς λόγος ὔμμιν ἀληθινός· εἰ δὲ τὸν ἡδὺν
book 524.5.2 βούλει, Πελλαίου βοῦς μέγας εἰν Ἀίδῃ.“
book 525.1.1 Ὅστις ἐμὸν παρὰ σῆμα φέρεις πόδα, Καλλιμάχου με
book 525.1.2 ἴσθι Κυρηναίου παῖδά τε καὶ γενέτην.
book 525.1.3 εἰδείης δ’ ἄμφω κεν· ὁ μέν κοτε πατρίδος ὅπλων
book 525.1.4 ἦρξεν, ὁ δ’ ἤεισεν κρέσσονα βασκανίης.
book 525.5 οὐ νέμεσις· Μοῦσαι γάρ, ὅσους ἴδον ὄμματι παῖδας
book 525 μὴ λοξῷ, πολιοὺς οὐκ ἀπέθεντο φίλους.
book 725.1.1 Αἴνιε, καὶ σὺ γὰρ ὧδε, Μενέκρατες, οὐκέτι πουλὺς
book 725.1.2 ἦσθα. τί σε, ξείνων λῷστε, κατειργάσατο;
book 725.1.3 ἦ ῥα τὸ καὶ Κένταυρον; —„Ὅ μοι πεπρωμένος ὕπνος
book 725 ἦλθεν, ὁ δὲ τλήμων οἶνος ἔχει πρόφασιν.“
book 728.1.1 Ἱερέη Δήμητρος ἐγώ ποτε καὶ πάλιν Καβείρων,
book 728.1.2 ὦνερ, καὶ μετέπειτα Δινδυμήνης
book 728.1.3 ἡ γρηῢς γενόμην, ἡ νῦν κόνις, ἡ νο...
book 728.1.4

πολλῶν προστασίη νέων γυναικῶν.
book 728.5 καί μοι τέκν’ ἐγένοντο δύ’ ἄρσενα, κἠπέμυσα κείνων
book 728 εὐγήρως ἐνὶ χερσίν. ἕρπε χαίρων.
book 336.1.1 Ἥρως Ἠετίωνος ἐπίσταθμος Ἀμφιπολίτεω
book 336.1.2 ἵδρυμαι μικρῷ μικρὸς ἐπὶ προθύρῳ
book 336.1.3 λοξὸν ὄφιν καὶ μοῦνον ἔχων ξίφος· ἀνέρι δ’ ἱππεῖ
book 336.1.4 θυμωθεὶς πεζὸν κἀμὲ παρῳκίσατο.
book 507.1.1 Ἡσιόδου τό τ’ ἄεισμα καὶ ὁ τρόπος· οὐ τὸν ἀοιδῶν
book 507.1.2 ἔσχατον, ἀλλ’ ὀκνέω μὴ τὸ μελιχρότατον
book 507.1.3 τῶν ἐπέων ὁ Σολεὺς ἀπεμάξατο. χαίρετε, λεπταὶ
book 507.1.4 ῥήσιες, Ἀρήτου σύμβολον ἀγρυπνίης.
book 565.1.1 Ἦλθε Θεαίτητος καθαρὴν ὁδόν· εἰ δ’ ἐπὶ κισσὸν
book 565.1.2 τὸν τεὸν οὐχ αὕτη, Βάκχε, κέλευθος ἄγει,
book 565.1.3 ἄλλων μὲν κήρυκες ἐπὶ βραχὺν οὔνομα καιρὸν
book 565.1.4 φθέγξονται, κείνου δ’ Ἑλλὰς ἀεὶ σοφίην.
book 566.1.1 Μικρή τις, Διόνυσε, καλὰ πρήσσοντι ποιητῇ
book 566.1.2 ῥῆσις· ὁ μὲν „Νικῶ“ φησὶ τὸ μακρότατον·
book 566.1.3 ᾧ δὲ σὺ μὴ πνεύσῃς ἐνδέξιος, ἤν τις ἔρηται
book 566.1.4 „Πῶς ἔβαλες;“ φησί· „Σκληρὰ τὰ γιγνόμενα.“
book 566.5 τῷ μερμηρίξαντι τὰ μὴ ἔνδικα τοῦτο γένοιτο
book 566 τοὖπος· ἐμοὶ δ’, ὦναξ, ἡ βραχυσυλλαβίη.
book 362.1.1 Εὐδαίμων, ὅτι τἆλλα μανεὶς ὡρχαῖος Ὀρέστας,
book 362.1.2 Λεύκαρε, τὰν λίαν οὐκ ἐμάνη μανίαν
book 362.1.3 οὐδ’ ἔλαβ’ ἐξέτασιν τῶ Φωκέος, ἅτις ἐλέγχει
book 362.1.4 τὸν φίλον· ἀλλ’ αἰ χὴν δρᾶμ’ ἐδίδαξε μόνον,
book 362.5 ἦ τάχα κα τὸν ἑταῖρον ἀπώλεσε· τοῦτο ποήσας
book 362.5.2 κἠγὼ τὼς πολλὼς οὐκέτ’ ἔχω Πυλάδας.
book 43.1.1 Ἐχθαίρω τὸ ποίημα τὸ κυκλικὸν οὐδὲ κελεύθῳ
book 43.1.2 χαίρω, τίς πολλοὺς ὧδε καὶ ὧδε φέρει·
book 43.1.3 μισῶ καὶ περίφοιτον ἐρώμενον οὐδ’ ἀπὸ κρήνης
book 43.1.4 πίνω· σικχαίνω πάντα τὰ δημόσια.
book 43.5.1 Λυσανίη, σὺ δὲ ναίχι καλὸς καλός· ἀλλὰ πρὶν εἰπεῖν
book 43.5.2 τοῦτο σαφῶς, ἠχώ φησί τις· „Ἄλλος ἔχει.“
book 51.1.1 Ἔγχει καὶ πάλιν εἰπέ· Διοκλέοσ“. οὐδ’ Ἀχελῷος
book 51.1.2 κείνου τῶν ἱερῶν αἰσθάνεται κυάθων.
book 51.1.3 καλὸς ὁ παῖς, Ἀχελῷε, λίην καλός· εἰ δέ τις οὐχὶ
book 51.1.4 φησίν—ἐπισταίμην μοῦνος ἐγὼ τὰ καλά.
book 71.1.1 Θεσσαλικὲ Κλεόνικε τάλαν, τάλαν· οὐ μὰ τὸν ὀξὺν
book 71.1.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἥλιον, οὐκ ἔγνων. σχέτλιε, ποῦ γέγονας;
book 71.1.3 ὀστέα σοι καὶ μοῦνον ἔτι τρίχες. ἦ ῥά σε δαίμων
book 71.1.4 οὑμὸς ἔχει, χαλεπῇ δ’ ἤντεο θευμορίῃ;
book 71.5.1 ἔγνων· Εὐξίθεός σε συνήρπασε· καὶ σὺ γὰρ ἐλθὼν
book 71.5.2 τὸν καλόν, ὦ μόχθηρ’, ἔβλεπες ἀμφοτέροις.
book 73.1.1 Ἥμισύ μευ ψυχῆς ἔτι τὸ πνέον, ἥμισυ δ’ οὐκ οἶδ’
book 73.1.2 εἴτ’ Ἔρος εἴτ’ Ἀίδης ἥρπασε· πλὴν ἀφανές.
book 73.1.3 ἦ ῥά τιν’ ἐς παίδων πάλιν ᾤχετο. καὶ μὲν ἀπεῖπον
book 73.1.4 πολλάκι· „Τὴν δρῆστιν μὴ ὑποδέχεσθε, νέοι.“
book 73.5 οὗ Κῖσος, δίφησον· ἐκεῖσε γὰρ ἡ λιθόλευστος
book 73 κείνη καὶ δύσερως οἶδ’ ὅτι που στρέφεται.
book 102.1.1 Ὠγρευτής, Ἐπίκυδες, ἐν οὔρεσι πάντα λαγωὸν
book 102.1.2 διφᾷ καὶ πάσης ἴχνια δορκαλίδος,
book 102.1.3 στίβῃ καὶ νιφετῷ κεχρημένος· ἢν δέ τις εἴπῃ·
book 102.1.4 „Τῆ, τόδε βέβληται θηρίον,“ οὐκ ἔλαβεν.
book 102.5 χοὐμὸς ἔρως τοιόσδε· τὰ μὲν φεύγοντα διώκειν
book 102 οἶδε, τὰ δ’ ἐν μέσσῳ κείμενα παρπέταται.
book 118.1.1 Εἰ μὲν ἑκών, Ἀρχῖν’, ἐπεκώμασα, μυρία μέμφου·
book 118.1.2 εἰ δ’ ἄκων ἥκω, τὴν προπέτειαν ἔα.
book 118.1.3 ἄκρητος καὶ Ἔρως μ’ ἠνάγκασαν· ὧν ὁ μὲν αὐτῶν
book 118.1.4 εἷλκεν, ὁ δ’ οὐκ εἴα σώφρονα θυμὸν ἔχειν.
book 118.5.1 ἐλθὼν δ’ οὐκ ἐβόησα, τίς ἢ τίνος, ἀλλ’ ἐφίλησα
book 118.5.2 τὴν φλιήν· εἰ τοῦτ’ ἔστ’ ἀδίκημ’, ἀδικῶ.
book 134.1.1 Ἕλκος ἔχων ὁ ξεῖνος ἐλάνθανεν· ὡς ἀνιηρὸν
book 134.1.2 πνεῦμα διὰ στηθέων—εἶδες; —ἀνηγάγετο,
book 134.1.3 τὸ τρίτον ἡνίκ’ ἔπινε, τὰ δὲ ῥόδα φυλλοβολεῦντα
book 134.1.4 τὠνδρὸς ἀπὸ στεφάνων πάντ’ ἐγένοντο χαμαί·
book 134.5 ὤπτηται μέγα δή τι, μὰ δαίμονας· οὐκ ἀπὸ ῥυσμοῦ
book 134 εἰκάζω, φωρὸς δ’ ἴχνια φὼρ ἔμαθον.
book 139.1.1 Ἔστι τι, ναὶ τὸν Πᾶνα, κεκρυμμένον, ἔστι τι ταύτῃ,
book 139.1.2 ναὶ μὰ Διώνυσον, πῦρ ὑπὸ τῇ σποδιῇ·
book 139.1.3 οὐ θαρσέω. μὴ δή με περίπλεκε· πολλάκι λήθει
book 139.1.4 τοῖχον ὑποτρώγων ἡσύχιος ποταμός.
book 139.5.1 τῷ καὶ νῦν δείδοικα, Μενέξενε, μή με παρεισδὺς
book 139.5.2 οὗτος ὁ σιγέρπης εἰς τὸν ἔρωτα βάλῃ.
book 148.1.1 Οἶδ’, ὅτι μευ πλούτου κενεαὶ χέρες· ἀλλά, Μένιππε,
book 148.1.2 μὴ λέγε, πρὸς Χαρίτων, τοὐμὸν ὄνειρον ἐμοί.
book 148.1.3 ἀλγέω τὴν διὰ παντὸς ἔπος τόδε πικρὸν ἀκούων·
book 148.1.4

ναί, φίλε, τῶν παρὰ σεῦ τοῦτ’ ἀνεραστότατον.
book 149.1.1 „Ληφθήσει, περίφευγε, Μενέκρατες,“ εἶπα Πανήμου
book 149.1.2 εἰκάδι, καὶ Λῴου τῇ—τίνι; τῇ δεκάτῃ
book 149.1.3 ἦλθεν ὁ βοῦς ὑπ’ ἄροτρον ἑκούσιος. εὖ γ’, ἐμὸς Ἑρμῆς,
book 149 εὖ γ’, ἐμός· οὐ παρὰ τὰς εἴκοσι μεμφόμεθα.
book 150.1.1 Ὡς ἀγαθὰν Πολύφαμος ἀνεύρατο τὰν ἐπαοιδὰν
book 150.1.2 τὠραμένῳ· ναὶ Γᾶν, οὐκ ἀμαθὴς ὁ Κύκλωψ.
book 150.1.3 αἱ Μοῖσαι τὸν ἔρωτα κατισχναίνοντι, Φίλιππε·
book 150.1.4 ἦ πανακὲς πάντων φάρμακον ἁ σοφία.
book 150.5.1 τοῦτο, δοκέω, χἀ λιμὸς ἔχει μόνον ἐς τὰ πονηρὰ
book 150.5.2 τὠγαθόν, ἐκκόπτει τὰν φιλόπαιδα νόσον.
book 150.5.3 ἔσθ’ ἁμὶν χἀκάστοτ’ ἀφειδέα πρὸς τὸν Ἔρωτα
book 150.5.4 τοῦτ’ εἶπαι· „Κείρευ τὰ πτερά, παιδάριον·
book 150.5.5 οὐδ’ ὅσον ἀττάραγόν τυ δεδοίκαμες· αἱ γὰρ ἐπῳδαὶ
book 150.10 οἴκοι τῶ χαλεπῶ τραύματος ἀμφότεραι.“
book 230.1.1 Τὸν τὸ καλὸν μελανεῦντα Θεόκριτον, εἰ μὲν ἔμ’ ἔχθει,
book 230.1.2 τετράκι μισοίης· εἰ δὲ φιλεῖ, φιλέοις·
book 230.1.3 ναίχι πρὸς εὐχαίτεω Γανυμήδεος, Οὐράνιε Ζεῦ,
book 230.1.4 καὶ σύ ποτ’ ἠράσθης. οὐκέτι μακρὰ λέγω.
book 7.1.1 Ὁ Λύκτιος Μενίτας
book 7.1.2 τὰ τόξα ταῦτ’ ἐπειπὼν
book 7.1.3 ἔθηκε· „Τῆ, κέρας τοι
book 7.1.4 δίδωμι καὶ φαρέτρην,
book 7.5 Σάραπι· τοὺς δ’ ὀιστοὺς
book 7 ἔχουσιν Ἑσπερῖται.“
book 9.1.1 Ἔρχεται πολὺς μὲν Αἰγαῖον διατμήξας ἀπ’ οἰνηρῆς Χίου
book 9.1.2 ἀμφορεύς, πολὺς δὲ Λεσβίης ἄωτον νέκταρ οἰνάνθης ἄγων.
book 10.1.1 Ἁ ναῦς, ἃ τὸ μόνον φέγγος ἐμὶν τὸ γλυκὺ τᾶς ζόας
book 10.1.2 ἅρπαξας, ποτί τε Ζανὸς ἱκνεῦμαι λιμενοσκόπω ...
book 24.1.1 Τὰ δῶρα τἀφροδίτῃ
book 24.1.2 Σῖμον ἡ περίφοιτος εἰκόν’ αὑτῆς
book 24.1.3 ἔθηκε τήν τε μίτρην,
book 24.1.4 ἣ μαστοὺς ἐφίλησε, τόν τε πανὸν
book 24.5 καὶ τούς 〈ποτ’ ἀντίναξεν〉
book 24 ἀυτοῦς’ ἀν’ ὄρη τάλαινα θύρσους.
book 25.1.1 Δήμητρι τῇ Πυλαίῃ,
book 25.1.2 τῇ τοῦτον οὑκ Πελασγῶν
book 25.1.3 Ἀκρίσιος τὸν νηὸν ἐδείματο, ταῦθ’ ὁ Ναυκρατίτης
book 25.1.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τῇ κάτω θυγατρὶ
book 25.5 τὰ δῶρα Τιμόδημος
book 25 εἵσατο, τῶν κερδέων δεκατεύματα· καὶ γὰρ εὔξαθ’ οὕτως.

Eulogikon public reading copy · View original HTML at eulogikon.org